## XXI

Θέσπιδος εὕρεμα τοῦτο· τὰ δ' ἀγροιῶτιν ἀν' ὕλαν
 παίγνια καὶ κώμους τούσδε τελειοτέρους
Αἰσχύλος ἐξύψωσεν, ὁ μὴ σμιλευτὰ χαράξας
 γράμματα, χειμάρρῳ δ' οἷα καταρδόμενα,
καὶ τὰ κατὰ σκηνὴν μετεκαίνισεν. ὦ στόμα πάντων
 ἄξιον, ἀρχαίων ἦσθά τις ἡμιθέων.

## XXII

— τύμβος ὅδ' ἔστ', ὤνθρωπε, Σοφοκλέος, ὃν παρὰ Μουσῶν
 ἱρὴν παρθεσίην ἱερὸς ὢν ἔλαχον,
ὅς με τὸν ἐκ Φλιοῦντος ἔτι τρίβολον πατέοντα
 πρίνινον ἐς χρύσεον σχῆμα μεθηρμόσατο
καὶ λεπτὴν ἐνέδυσεν ἁλουργίδα. τοῦ δὲ θανόντος
 εὔθετον ὀρχηστὴν τῇδ' ἀνέπαυσα πόδα.
— ὄλβιος ὡς ἀγαθὴν ἔλαχες στάσιν. ἡ δ' ἐνὶ χερσί
 κούριμος, ἐκ ποίης ἥδε διδασκαλίης;
— εἴτε σοι Ἀντιγόνην εἰπεῖν φίλον οὐκ ἂν ἁμάρτοις,
 εἴτε καὶ Ἠλέκτραν· ἀμφότεραι γὰρ ἄκρον.

## XXIII

κἠγὼ Σωσιθέου κομέω νέκυν, ὅσσον ἐν ἄστει
 ἄλλος ἀπ' αὐθαίμων ἡμετέρων Σοφοκλῆν,
Σκιρτὸς ὁ πυρρογένειος· ἐκισσοφόρησε γὰρ ὠνήρ
 ἄξια Φλιασίων, ναὶ μὰ χορούς, Σατύρων,